v [illegible] Translacio sci Thome [illegible]

[illegible] Translacio sci Martini ep. et conf. [illegible]

[illegible] Goaris cf.

Nonas

b viii id. Kyliani et sociorum eius

A vii id.

g vi id.

c v id. Translacio sci Benedicti cf.

d iiii id.

e iii id. Margarete v. et mris

f ii id.

Id. Divisio apostolorum

xvii kl. Augusti

[illegible]

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-160248-p0001-0

00, Sammelbd.
Ma C 346

Sc. Graec. in Octavo
N. 74
II 2 a 123

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-160248-p0003-1

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-160248-p0004-7

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-160248-p0005-2

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-160248-p0006-8

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-160248-p0007-4

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-160248-p0008-9

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-160248-p0009-8

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-160248-p0010-0

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-160248-p0011-6

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-160248-p0012-1

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-160248-p0013-7

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-160248-p0014-2

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-160248-p0015-8

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-160248-p0016-3

# D. IOANNIS CHRYSOSTOMI DE ORANDO DEVM, LIBRI DVO.



COLONIAE AGRIPPINAE,
Apud Ioannem Gymnicum, sub Monocerote. M. D. LXXVII.

ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ
ΠΕΡΙ ΠΡΟΣΕΥΧΗΣ ΛΟ-
ΓΟΣ Α.

Ἀμφοτέρων ἕνεκα προσήκει τοὺς τοῦ
θεοῦ θεράποντας μακαρίζειν καὶ
θαυμάζειν, ὅτι τὴν ἐλπίδα τῆς
σωτηρίας ἐν ταῖς ἁγίαις εἶχον εὐχαῖς, καὶ ὅτι
γραφῇ φυλάξαντες τοὺς ὕμνους καὶ τὰς λα-
τρείας, ἃς τῷ θεῷ σὺν χαρᾷ καὶ φόβῳ προ-
σέφερον, καὶ εἰς ἡμᾶς διέδωκαν τὸν ἑαυτῶν
θησαυρόν, ἵνα πρὸς τὸν οἰκεῖον ζῆλον πᾶν τὸ
ἐπιγινόμενον ἐπισπάσασθαι δυνηθῶσιν, δια-
βαίνειν γὰρ προσήκει τὸν τῶν διδασκάλων ἐπὶ
τοὺς ὁμιλοῦντας τρόπον, καὶ τοὺς τῶν προ-
φητῶν μαθητάς, μιμητὰς προσήκει φαίνεσθαι
τῆς ἐκείνων δικαιοσύνης, ἵνα πάντα τὸν χρό-
νον ταῖς προσευχαῖς, καὶ τῇ τοῦ θεοῦ λατρείᾳ
καὶ μελέτῃ συζῶμεν, τοῦτο ζωήν, τοῦτο ὑγείαν

καὶ πλοῦτον τοῦτο πέρας ἀγαθῶν εἶναι νομίζοντες, τὸ προσεύχεσθαι τῷ θεῷ μετὰ καθαρᾶς καὶ ἀδιαφθόρου ψυχῆς, ὥσπερ γὰρ τῷ σώματι φῶς, ἥλιος οὕτω ψυχῇ προσευχή. εἰ οὖν τυφλῷ ζημία τὸ μὴ ὁρᾶν τὸν ἥλιον, πόση ζημία χριστιανῷ τὸ μὴ προσεύχεσθαι συνεχῶς, καὶ διὰ τῆς εὐχῆς τὸ τοῦ χριστοῦ φῶς εἰς τὴν ψυχὴν εἰσάγειν; καὶ τοι τίς οὐκ ἂν ἐκπλαγείη καὶ θαυμάσειε τὴν τοῦ θεοῦ φιλανθρωπίαν, ἣν εἰς ἡμᾶς ἐπιδείκνυται, τοσαύτην τιμὴν ἀνθρώποις χαριζόμενος, ὡς καὶ προσευχῆς ἀξιῶσαι καὶ ὁμιλίας τῆς ἑαυτοῦ; θεῷ γὰρ ὡς ἀληθῶς λαλοῦμεν τῷ καιρῷ τῆς προσευχῆς, δι' ἧς καὶ τοῖς ἀγγέλοις συναπτόμεθα, καὶ τὴν πρὸς τὰ ἄλογα κοινωνίαν πολὺ φαινόμεθα διαφεύγοντες, ἀγγέλων γὰρ ἔργον ἡ προσευχή, ὑπεραίρουσα καὶ τὴν ἐκείνων ἀξίαν, εἴπερ κρεῖττόν ἐστι τῆς ἀγγέλων ἀξίας τῷ θεῷ διαλέγεσθαι ἀλλ' ὅμως ὅτι γε κρεῖττόν ἐστιν, αὐτοὶ διδάσ-

κουσιν ἡμᾶς σὺν πολλῷ μὲν φόβῳ τὰς εὐ-
χὰς προφέροντες, παρέχοντες δὲ ἡμῖν εἰδέναι
καὶ μανθάνειν, ὅτι προσήκει τῷ θεῷ προσιόν-
τας, σὺν χαρᾷ καὶ φόβῳ τοῦτο ποιεῖν. φόβῳ
μὲν, δεδοικότας μὴ τῆς προσευχῆς ἀνάξιοι
φανῶμεν, χαρᾶς δὲ μεστοὺς γινομένους ἐπὶ
τῷ μεγέθει τῆς τιμῆς, ὅτι τοσαύτης καὶ τοι-
αύτης προνοίας τὸ θνητὸν ἠξιώθη γένος, ὥς
καὶ θείας ἀπολαύειν ὁμιλίας συνεχῶς, δι᾽ ἧς
καὶ τὸ θνητοὶ εἶναι καὶ πρόσκαιροι διαφεύγο-
μεν, φύσει μὲν ὄντες θνητοὶ, τῇ δὲ πρὸς θεὸν
ὁμιλίᾳ, πρὸς ἀθάνατον ζωὴν μεταβαίνοντες.
ἀνάγκη γὰρ τὸν ὁμιλοῦντα θεῷ καὶ κρείττονα
γενέσθαι θανάτου καὶ πάσης διαφθορᾶς, καὶ ὥ-
σπερ ἀνάγκη πᾶσα, τῆς ἡλιακῆς ἀκτῖνος ἀπο-
λαύοντα διαφεύγειν τὸ σκότος, οὕτως ἀνάγ-
κη πᾶσα τὸν θείας ὁμιλίας ἀπολαύοντα,
μηκέτι εἶναι θνητόν. αὐτὸ γὰρ τὸ τῆς τιμῆς μέ-
γεθος, πρὸς ἀθανασίαν ἡμᾶς μεθίστησιν ἐν

γὰρ τοὺς βασιλεῖ διαλεγομένους, καὶ τῆς παρ' ἐκείνου τιμῆς ἀπολαύοντας, ἀμήχανον εἶναι πένητας, πολλῷ μᾶλλον ἀδύνατον τοὺς τῷ θεῷ προσευχομένους καὶ λαλοῦντας θνητὰς ἔχειν ψυχάς. θάνατος γὰρ ψυχῆς, ἀσέβεια καὶ βίος παράνομος. οὐκοῦν καὶ ζωὴ ψυχῆς, ἡ τοῦ θεοῦ λατρεία, καὶ βίος ὁ ταύτῃ πρέπων, βίον δὲ ὅσιον καὶ τῆς τοῦ θεοῦ λατρείας πρέποντα, προσευχὴ συνάγει, καὶ θησαυρίζει θαυμαστῶς ταῖς ἡμετέραις ψυχαῖς. εἴ τε γὰρ παρθενίας τις ἐραστής, εἴ τε τὴν ἐν γάμοις σωφροσύνην τιμᾶν ἐσπουδακὼς, εἴ τε κρατεῖν ὀργῆς καὶ πραότητι συζῆν, εἴ τε φθόνου καθαρεύειν, εἴ τε ἄλλο τι τῶν προσηκόντων ποιεῖν, προσευχῆς ἡγουμένης καὶ προλεαινούσης τὴν τοιαύτην ὁδὸν τοῦ βίου, εὐχερῆ τε καὶ ῥᾴδιον ἕξει τὸν τῆς εὐσεβείας δρόμον. οὐ γάρ ἐστιν, οὐκ ἔστιν τοὺς αἰτοῦντας παρὰ τοῦ θεοῦ σωφροσύνην καὶ δικαιοσύνην καὶ πραότητα καὶ χρη-

σότητα μὴ τυγχάνειν τῆς εὐχῆς, αἰτεῖτε γάρ φησιν, καὶ δοθήσεται ὑμῖν, ζητεῖτε καὶ εὑρήσετε κρούετε καὶ ἀνοιγήσεται ὑμῖν. πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσεται, καὶ ἀλλαχοῦ πάλιν. τίς ἐστιν φησὶν ἐξ ὑμῶν, ὃν ἐὰν αἰτήσῃ ὁ υἱὸς αὐτοῦ ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ, ἢ ἐὰν ἰχθὺν αἰτήσῃ μὴ ὄφιν ἐπιδώσει αὐτῷ; εἰ οὖν ὑμεῖς πονηροὶ ὄντες, οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ πατὴρ ὑμῶν οὐράνιος δώσει πνεῦμα ἅγιον τοῖς αἰτοῦσιν αὐτόν, τοιούτοις μὲν λόγοις καὶ τοιαύταις ἐλπίσιν ἐπὶ προσευχὴν παρεκάλεσεν ἡμᾶς ὁ τῶν ὅλων κύριος, ἡμᾶς δὲ προσήκει τῷ θεῷ πειθομένους ἀεὶ ζῆν ἐν ὕμνοις καὶ προσευχαῖς, ἀκριβέστερον τῆς τοῦ θεοῦ λατρείας ἐχομένους ἢ τῆς ἑαυτῶν ψυχῆς. οὕτω γὰρ ὑμῖν ὑπάρξειν ζῆν ἀεὶ τὴν πρέπουσαν ἀνθρώποις ζωήν, ὅστις γὰρ οὐ προσεύχεται τῷ θεῷ οὐδὲ θείας ὁμιλίας

ἀπολαύειν ἐπιθυμεῖ συνεχῶς, νεκρός ἐστι καὶ ἄψυχος, καὶ οὐ μετέχει τοῦ φρονεῖν, αὐτὸ γὰρ τοῦτο μέγιστον ἀφροσύνης σημεῖον, τὸ μὴ ἐπίστασθαι τὸ μέγεθος τῆς τιμῆς, μήτε ἐρᾶν προσευχῆς, μήτε θάνατον ἡγεῖσθαι ψυχῆς τὸ μὴ προσκυνεῖν τὸν θεόν, ὥσπερ γὰρ οἶμαι τὸ σῶμα τοῦτο τὸ ἡμέτερον, ψυχῆς μὴ παρούσης, νεκρόν ἐστι, καὶ δυσῶδες, οὕτως ψυχὴ μὴ κινοῦσα ἑαυτὴν εἰς προσευχήν. νεκρά ἐστι καὶ ἀθλία καὶ δυσώδης. ἀλλὰ μὴν, ὅτι γε θανάτου παντὸς πικρότερον ἡγεῖσθαι προσήκει, στερηθῆναι προσευχῆς, διδάσκει καλῶς ἡμᾶς Δανιὴλ ὁ μέγας προφήτης, μᾶλλον δὲ ἑλόμενος ἀποθανεῖν, ἢ τρεῖς ἡμέρας μόνας στερηθῆναι προσευχῆς. οὐ γὰρ ἀσεβῆσαι τούτῳ προσέταξεν ὁ τῶν περσῶν βασιλεὺς ἀλλὰ τρεῖς ἡμέρας μόνον σκοπούμενος ἐυχεῖν. ἄνευ γὰρ τῆς θείας ῥοπῆς οὐκ ἄν τι τῶν ἀγαθῶν εἰς τὰς ἡμετέρας ἔλθοι ψυχάς. θεοῦ δὲ ῥοπὴ συνεφάπτεται τῶν

πόνων

πόνων ἡμῖν καὶ τούτους ἐπικουφίζει καλῶς; ἂν
ἴδῃ προσευχὴν ἀγαπῶντας καὶ συνεχῶς τοῦ
θεοῦ δεομένους, καὶ πάντα, ἐκεῖθεν τὰ ἀγα-
θὰ καταβήσεσθαι προσδοκῶντας. ὅτ' ἂν μὲν οὖν
ἴδω τινὰ μὴ φιλοῦντα προσευχὴν, μηδὲ θερ-
μὸν ἔρωτα ταύτης ἔχοντα καὶ σφοδρὸν, ἤδη
μοὶ οὗτος δῆλός ἐστιν ὡς οὐδὲν γενναῖον ἐν τῇ
ψυχῇ κέκτηται, ὅτ' ἂν δὲ ἴδω τινὰ τῆς τοῦ θεοῦ
λατρείας ἀκορέστως ἐχόμενον, καὶ τὸ μὴ προ-
σεύχεσθαι συνεχῶς, ἐν ταῖς μεγίσταις ἀριθ-
μοῦντα ζημίαις, τεκμαίρομαι τὸν τοιοῦτον
πάσης ἀρετῆς ἀσκητὴν εἶναι βέβαιον, καὶ τοῦ
θεοῦ ναόν. εἰ γὰρ στολισμὸς ἀνδρὸς καὶ βῆμα
ποδὸς καὶ γέλως ὀδόντων ἀναγγέλλει τὰ πε-
ρὶ αὐτοῦ κατὰ τὸν σοφὸν σολομῶντα, πολλῷ
μᾶλλον εὐχὴ καὶ λατρεία θεοῦ σημεῖόν ἐστι
δικαιοσύνης ἁπάσης, στολή τις οὖσα πνευμα-
τικὴ καὶ θεία, πολλὴν εὐμορφίαν καὶ κάλλος
κατέχουσα ταῖς ἡμετέραις διανοίαις, τὸν

 ἑκάστου

ἑκάστου ῥυθμίζουσα βίον, οὐκ ἐῶσα φαῦλον οὐδὲ ἄτοπον τῆς διανοίας κρατεῖν, αἰδεῖσθαι πείθουσα τὸν θεὸν καὶ τὴν παρ' αὐτῷ τιμὴν, πᾶσαν τοῦ πονηροῦ γοητείαν ἀποπέμπεσθαι παιδεύουσα, τοὺς αἰσχροὺς καὶ ἀτόπους ἐξελαύνουσα λογισμοὺς ἐν ὑπεροψίᾳ τῆς ἡδονῆς καθιστῶσα τὴν ἑκάστου ψυχήν. αὕτη γὰρ ἡ ὑπερηφανία μόνη πρέπει τοῖς τὸν χριστὸν σεβομένοις τὸ μηδενὶ δουλεύειν αἰσχρῷ, ἀλλὰ τηρεῖν ἐν ἐλευθερίᾳ τὴν ψυχὴν καὶ βίῳ κεκαθαρμένῳ, ὅτι μὲν οὖν παντελῶς ἀμήχανον ἄνευ προσευχῆς ἀρετῇ συζῆν, καὶ μετὰ ταύτης πορεύεσθαι τὸν βίον, οἶμαι δῆλον ἅπασιν εἶναι, πῶς γὰρ ἄν τις ἀρετὴν ἀσκήσειεν, μὴ προσιὼν καὶ προσπίπτων συνεχῶς τῷ ταύτης χορηγῷ καὶ δοτῆρι; πῶς δὲ ἄν τις ἐπιθυμήσειεν εἶναι σώφρων καὶ δίκαιος, μὴ ὁμιλῶν ἡδέως τῷ ταῦτά τε καὶ πλείω τούτων ἀπαιτοῦν-

τι περὶ ἡμῶν, βούλομαι δὲ ἐπιδεῖξαι διὰ βραχέων. ὅτι κἂν ἁμαρτημάτων γέμοντας αἱ προσευχαὶ λάβωσιν ἡμᾶς, ταχέως ἀποκαθαίρουσιν. καί τοι τί μεῖζον γένοιτ' ἂν προσευχῆς ἢ θειότερον, ὅτ' ἂν ἀλεξιφάρμακον φανῇ τις οὖσα, τοῖς τὰς ψυχὰς νοσοῦσιν; οὐκοῦν πρῶτοι νινευῖται φαίνονται διὰ προσευχῆς ἀναλυσάμενοι τὰς πολλὰς πρὸς θεὸν ἁμαρτίας. ἅμα τε γὰρ ἔλαβεν αὐτοὺς ἡ προσευχὴ, καὶ δικαίους ἐποίησεν, καὶ πόλιν εἰθισμένην ἀκολασίᾳ καὶ πονηρίᾳ καὶ παρανόμῳ βίῳ συζῆν, ἐπανώρθωσεν ὀξέως παλαιᾶς συνηθείας μεῖζων ἰσχύσασα. τῶν οὐρανίων νόμων πλήρη πεποιηκυῖα τὴν πόλιν, συνεφελκομένη μεθ' ἑαυτῆς καὶ σωφροσύνην καὶ φιλανθρωπίαν τὴν πραότητα καὶ πρόνοιαν πτωχῶν, οὐ γὰρ ἀνέχεται χωρὶς

τούτων

τούτων ἐν διαιτᾶσθαι πτωχοῖς, ἀλλ' εἰς ἣν ἂν οἰκήσῃ διάνοιαν, πλήρεις ποιεῖ δικαιοσύνης πάσης, παιδοτριβοῦσα πρὸς ἀρετὴν, καὶ κακίαν ἐξορίζουσα. καὶ δὴ καὶ τότε εἴ τις εἰσελθὼν εἰς Νινευῒ τὴν πόλιν, καὶ πρότερον αὐτὴν ἀκριβῶς ἐπιστάμενος, οὐκ ἂν ἐπέγνω τὴν πόλιν, οὕτως ἐξαίφνης ἀπὸ τοῦ φαυλοτέρου βίου πρὸς εὐσέβειαν μετεπήδησεν, ὥσπερ γυναῖκα πτωχὴν ῥάκια φέρουσαν, μετὰ ταῦτα τις χρυσοῖς ἱματίοις κεκοσμημένην εἴδεν, οὐκ ἂν ἐπιγνοίη τῆς γυναικός, οὕτων ὁ τὴν πόλιν ἐκείνην εἰδὼς πτωχεύουσαν πρότερον, καὶ τῶν πνευματικῶν ἔρημον οὖσαν θησαυρῶν, ἠγνόησεν ἂν ἥτις ἦν ἡ πόλις, ἣν τοσοῦτον ἴσχυσεν εὐχὴ μεταβαλοῦσα, καὶ τρόπον καὶ βίον πρὸς ἀρετὴν ἐπαναγαγεῖν. καὶ γυνὴ δέ τις ἐν ἀκολασίᾳ καὶ πορνείᾳ πάντα βεβιωκυῖα τὸν χρόνον, ἅμα τε προσέπεσεν πρὸς τοὺς πόδας τοῦ Χριστοῦ, καὶ σωτηρίας ἔτυχεν,

οὐ τοίνυν ἀποκαθαίρει μόνον ἁμαρτίας, ἀλλὰ
καὶ κινδύνους ἀποκρούεται μεγάλους. ὁ γέτοι
βασιλεὺς ὁμοῦ τε καὶ προφήτης ὁ θαυμάσιος
Δαβίδ, τοὺς πολλοὺς καὶ χαλεποὺς πολέ-
μους τῇ προσευχῇ διέφυγεν, τοῦτο μόνον τὸ
ὅπλον τῆς στρατίας προβαλλόμενος, καὶ πα-
ρέχων τοῖς ἑαυτοῦ στρατιώταις, καθ' ἡσυχίαν
καὶ ἄδειαν ἀπολαύειν τῆς νίκης. ὡς οἱ μὲν ἄλ-
λοι βασιλεῖς, ἐν τῇ τῶν στρατηγῶν ἐμπειρίᾳ
καὶ τῇ τέχνῃ καὶ τοξόταις καὶ ὁπλίταις καὶ
ἱππεῦσιν, τὴν ἐλπίδα τῆς σωτηρίας εἶχον, ὁ
δὲ μέγας Δαβὶδ ταῖς ἁγίαις εὐχαῖς τὴν στρα-
τιὰν ἐτείχιζεν, οὐ βλέπων εἰς ὄφρυν στρατη-
γῶν καὶ ταξιάρχων καὶ ἱππάρχων, οὐδὲ χρήμα-
τα συλλέγων, οὐδὲ ὅπλα κατασκευάζων, ἀλ-
λὰ τὴν θείαν πανοπλίαν ἐξ οὐρανοῦ κατα-
φέρων. πανοπλία γὰρ ὡς ἀληθῶς οὐράνιος,
ἡ θεία προσευχή, καὶ μόνη δύναται φυλάττειν
βεβαίως τοὺς δεδωκότας ἑαυτοὺς τῷ θεῷ.

τὴν

τὴν μὲν γὰρ τῶν ὁπλιτῶν ἰσχύν τε καὶ ἐπι-
στήμην καὶ πλούτον ἐμπειρίαν, καὶ προδοσίαν
πολλάκις ἀποφαίνει μάταιον, καὶ βλέμματα
πολεμικά, καὶ ἀντιπάλων εὐψυχία, καὶ ἄλλα
πολλὰ πρὸς τούτοις, προσευχὴ δὲ ἄμαχον
ὅπλον καὶ ἀσφαλὲς φυλακτήριον, ὁμοίως
μὲν στρατιώτην ἕνα, ὁμοίως δὲ πολλὰς ἀπο-
κρουομένη μυριάδας. ἐπεὶ καὶ Δαβὶδ ὁ θαυμά-
σιος τὸν Γολιὰδ ἐκεῖνον, ὥσπερ δαίμονά τι-
να φοβερὸν ἐπερχόμενον, οὐχ ὅπλοις οὐδὲ
ξίφεσιν, ἀλλ' εὐχαῖς κατήνεγκεν, οὕτως ἰσχυ-
ρὸν μὲν βασιλεῦσιν ἐν μάχαις ὅπλον ἡ προ-
σευχή, ἰσχυρὸν δὲ καὶ ἡμῖν πρὸς δαίμονας. οὕτω
καὶ ὁ βασιλεὺς Ἐζεκίας περιγίνεται τοῦ πολέ-
μου τῶν Περσῶν, στρατιὰν μὲν οὐχ ὁπλίσας, εὐ-
χὰς δὲ μόνας ἀντιστήσας τοῦ πλήθει τῶν ἀν-
τιπάλων. οὕτω καὶ θάνατον διέφυγεν μετὰ
τῆς προσηκούσης εὐλαβείας τοῦ θεοῦ προπέ-
σων, καὶ ἡ προσευχὴ μόνη δέδωκεν ἀναβιῶναι
τοῦ

τοῦ βασιλέως. ἐπεὶ δὲ ὅτι γε ψυχὴν ἡμαρτηκυῖαν
ἡ προσευχὴ ῥαδίως ἀποκαθαίρει, διδάσκει
ἡμᾶς ὁ τελώνης, δεηθεὶς τοῦ θεοῦ τυχεῖν ἀφέ-
σεως καὶ τυχών. διδάσκει δὲ καὶ ὁ λεπρὸς, ἅμα
τε προσπεσὼν τοῦ θεοῦ καὶ ἤδη καθαρθεὶς εὐθέ-
ως. εἰ δὲ σῶμα διεφθαρμένον ὁ θεὸς ἐξέως
ἰάσατο, πολλῷ μᾶλλον ψυχὴν νενοσηκυῖαν θε-
ραπεύσει φιλανθρώπως. ὅσῳ γὰρ τιμιωτέρα
τοῦ σώματος ψυχὴ, τοσοῦτο μᾶλλον εἰκὸς περὶ ταύ-
την πλείονα σπουδὴν ἐπιδείκνυσθαι τὸν θεόν. καὶ
μυρία ἄν τις ἔχοι λέγειν, καὶ παλαιὰ καὶ καινὰ,
εἰ πάντας ἐξαριθμεῖσθαι βούλοιτο τοὺς διὰ
προσευχῆς σεσωσμένους. ἴσως δέ τις τῶν ῥαθυ-
μοτέρων, καὶ οὐκ ἐθελόντων ἐπιμελῶς προ-
σεύχεσθαι καὶ σπουδαίως, ἐκεῖνα τὰ ῥήματα πεί-
σειεν ἂν εἰρηκέναι τὸν θεόν, ὡς οὐ πᾶς ὁ λέγων
μοὶ, κύριε κύριε εἰσελεύσεται εἰς τὴν βασιλείαν
τῶν οὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ πα-
τρός μου τοῦ ἐν οὐρανοῖς, ἐγὼ δὲ εἰ μόνην ἐξῃτήκειν

πρὸς

πρὸς τὴν ἡμετέραν σωτηρίαν τὴν προσευχὴν ἐνόμιζον, εἰκότως ἂν τις τούτοις ἐνέχοιτο τοῖς λόγοις, ἐπεὶ δὲ κεφάλαιον εἶναι ἀγαθῶν τὴν προσευχήν φημι, καὶ κρηπῖδα καὶ ῥίζαν λυσιτελοῦντος βίου, μηδεὶς ἐπὶ προφάσει ῥᾳθυμίας ἐκείνοις κεχρήσθω τοῖς λόγοις, οὐδὲ γὰρ σωφροσύνη μόνη δύναται σώζειν ἄνευ τῶν ἄλλων ἀγαθῶν, οὐδὲ πρόνοια πτωχῶν, οὐδὲ χρηστότης, οὐδὲ ἄλλο τι τῶν σπουδαίων, ἀλλὰ δεῖ πάντα συνδραμεῖν εἰς τὰς ἡμετέρας ψυχὰς προσευχὴ δὲ ὥσπερ ῥίζα καὶ κρηπὶς ὑπόκειται, καὶ ὥσπερ πλοῖον καὶ οἰκίαν τὰ κάτωθεν ἰσχυρὰ ποιεῖ καὶ συνέχει, οὕτω τὸν ἡμέτερον βίον αἱ προσευχαὶ συγκρατοῦσιν. ἄνευ δὲ ταύτης οὐδὲν ἂν ἡμῖν ἀγαθὸν οὐδὲ σωτήριον γένοιτο. διὰ τοῦτο ὁ παῦλος ἔγκειται συνεχῶς ἡμῖν διακελευόμενος καὶ λέγων, τῇ προσευχῇ προσκαρτερεῖτε, γρηγοροῦντες ἐν αὐτῇ ἐν εὐχαριστίᾳ καὶ ἀλλαχοῦ, ἀδιαλείπτως προσεύχεσθε

φησίν,

φησίν, ἐν παντὶ εὐχαριστοῦντες, τοῦτο γάρ ἐστι θέλημα θεοῦ, καὶ ἑτέρωθι πάλιν, προσεύχεσθε ἐν παντὶ καιρῷ ἐν πνεύματι, εἰς αὐτὸ ἀγρυπνοῦντες τε πάσῃ προσκαρτερήσει καὶ δεήσει. οὕτω πολλαῖς καὶ θείαις φωναῖς ἐπὶ προσευχὴν ἡμᾶς ἐκάλει συνεχῶς ὁ τῶν ἀποστόλων ἡγεμών. προσήκει τοίνυν ὑπ' ἐκείνου παιδευομένους, μετὰ προσευχῆς πορεύεσθαι τὸν βίον, καὶ ταύτῃ συνεχῶς τὴν διάνοιαν ἄρδειν. χρῄζομεν γὰρ οἱ πάντες ἄνθρωποι ταύτης οὐχ ἧττον, ἢ τὰ δένδρα τῶν ὑδάτων. οὔτε γὰρ ἐκεῖνα δύναιτ' ἂν ἐκφέρειν τοὺς καρποὺς μὴ πίνοντα διὰ τῶν ῥιζῶν, οὔτε ἡμεῖς τοῖς πολυτιμήτοις καρποῖς τῆς εὐσεβείας δυνησόμεθα βρύειν, μὴ ταῖς προσευχαῖς ἀρδόμενοι. διόπερ χρὴ καὶ τῆς κλίνης ἀπανισταμένους φθάνειν ἀεὶ τὸν ἥλιον τῇ τοῦ θεοῦ λατρείᾳ, καὶ τραπέζης ἁπτομένους, καὶ καθεύδειν μέλλοντας. μᾶλλον δὲ καὶ καθ' ἑκάστην ὥραν, μίαν εὐχὴν τῷ θεῷ προσφέροντας, ἴσον

τῆς ἡμέρας δρόμον παρέχοντας, ὡς λέγει τῇ τοῦ χειμῶνος ὥρα, καὶ τῆς νυκτὸς τὸ πλεῖστον μέρος εἰς προσευχὰς ἀναλίσκοντας, καὶ τὰ γόνατα κάμπτοντας, σὺν πολλῷ τῷ φόβῳ τῇ δεήσει προσέχοντας, μακαρίζοντας ἑαυτοὺς ἐπὶ τῇ τοῦ θεοῦ λατρείᾳ. εἰπέ μοι πῶς, ὄψει τὸν ἥλιον μὴ προσκυνήσας τὸν πέμποντα τοῖς σοῖς ὀφθαλμοῖς γλυκύτατον φῶς; πῶς ἀπολαύσεις τραπέζης, μὴ προσκυνήσας τὸν τοσούτων ἀγαθῶν δοτῆρα, καὶ χορηγόν; μετὰ ποίας ἐλπίδος ἐπὶ τὸν τῆς νυκτὸς ἥξεις καιρόν; ποίοις προσδοκᾷς ὀνείρασιν ὁμιλῆσαι, μὴ τειχίσας σαυτὸν προσευχαῖς, ἀλλ᾽ ἀφύλακτος ἐπὶ τὸν ὕπνον ἐλθών. εὐκαταφρόνητος καὶ εὐάλωτος τοῖς πονηροτάτοις δαίμοσι ἔσῃ, οἳ περιέχονται συνεχῶς καιροφυλακτοῦντες ἡμᾶς, ἵνα λαβόντες γυμνὸν προσευχῆς ἀναρπάσαιεν ὀξέως. ἂν μὲν οὖν ἴδωσιν ἡμᾶς πεφραγμένους τῆς προσευχῆς, ἀποπηδῶσιν εὐθέως ὥσπερ λῃσταὶ καὶ κακοῦργοι,

κοῦργοι, πρὸς τῇ κεφαλῇ τοῦ στρατιώτου ξίφος ὁρῶντες κρεμάμενον, ἂν δ' ἄρα συμβῇ τινὰ γυμνὸν εἶναι προσευχῆς, οὗτος ἀνάσπαστος ὑπὸ τῶν δαιμόνων φέρεται, εἰς ἁμαρτίας ὠθούμενος καὶ συμφορὰς καὶ κακά. ταῦτα δὲ πάντα φοβουμένους ἡμᾶς προσευχαῖς καὶ ὕμνοις ἀεὶ τειχίζειν ἑαυτούς, ἵνα πάντας ὁ θεὸς ἐλεήσας, ἀξίους ἀπεργάσηται τῆς τῶν οὐρανῶν βασιλείας διὰ τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

## ΠΕΡΙ ΠΡΟΣΕΥΧΗΣ, ΛΟΓΟΣ Β.

Ὅτι μὲν παντὸς ἀγαθοῦ κεφάλαιόν ἐστιν ἡ προσευχὴ, καὶ σωτηρίας καὶ ζωῆς αἰωνίου πρόξενος, ἀγνοεῖ τῶν ἁπάντων οὐδείς. ἀναγκαῖον δὲ ὅμως τὰ κατὰ δύναμιν λέγειν περὶ τοῦ πράγματος, ἵνα τοὺς μὲν εἰωθότας

ζῶμεν ἐν προσευχαῖς, καὶ τῇ λατρείᾳ τοῦ θεοῦ, προσέχειν ἐπιμελῶς, σπουδαιότερον ὁ λόγος ἀπεργάζεται, οἱ δὲ ῥαθυμότερον βεβιωκότες, καὶ προσευχῆς ἔρημον τὴν ψυχὴν ἀφέντες, τήν τε τοῦ παρελθόντος χρόνου ζημίαν μάθωσιν, καὶ μὴ προσαποστερήσωσιν ἑαυτοὺς τῆς σωτηρίας, τὸ λειπόμενον τοῦ βίου μέρος, εὐθὺς τοίνυν ἐκεῖνο μέγιστον περὶ εὐχῆς εἰπεῖν ἔχομεν, ὅτι πᾶς προσευχόμενος, τῷ θεῷ διαλέγεται, ὅσον δέ ἐστιν ἄνθρωπον ὄντα τῷ θεῷ λαλεῖν, ἀγνοεῖ μὲν οὐδείς, παραστῆσαι δὲ λόγῳ τὴν τιμὴν, οὐκ ἄν τις δυνηθείη. αὕτη δὲ ἡ τιμὴ, καὶ τὴν τῶν ἀγγέλων ὑπεραίρει μεγαλοπρέπειαν, ὃ καλῶς ἐκεῖνοι ἐπιστάμενοι, πάντες φαίνονται παρὰ προφήταις σὺν πολλῷ τῷ φόβῳ τοὺς ὕμνους καὶ τὰς λατρείας τῷ δεσπότῃ προσάγοντες, καλύπτοντες, μὲν καὶ πρόσωπα καὶ τοὺς πόδας ὑπὸ πολλῆς, εὐλαβείας, τῇ δὲ πτήσει καὶ τῷ μὴ δύνασθαι μένειν ἐν ἡσυχίᾳ, τὴν πολλὴν ἐνδεικνύμενοι φό-

νοι φόβον. παιδεύοντες οἶμαι καὶ ἡμᾶς ἐπι-
λανθάνεσθαι μὲν τῆς ἀνθρωπίνης φύσεως ἐν και-
ρῷ προσευχῆς, τῇ δὲ προθυμίᾳ καὶ τῷ φόβῳ συ-
νεχομένους, μηδὲν τῶν προόντων ὁρᾶν ἀλλ' ἐν
μέσῳ τῶν ἀγγέλων ἑστάναι νομίζειν, καὶ τὴν αὐτὴν
ἐκείνοις λατρείαν ἐπιτελεῖν. τὰ μὲν γὰρ ἄλλα
πάντα. πολὺ κεχωρισμένα τά τε ἐκείνων καὶ
τὰ ἡμέτερα, ἡ φύσις, καὶ δίαιτα, ἡ σοφία, ἡ
σύνεσις, ἡ πᾶν, ὅτι ἂν εἴπῃ τις. προσευχὴ
δὲ κοινὸν ἔργον ἀγγέλων ὁμοῦ καὶ ἀνθρώπων. ἡ
οὐκ ἔστι μέσον οὐδὲν ἑκατέρας φύσεως, τά γε
εἰς προσευχήν. οὗτι διαχωρίζει τῶν ἀλόγων,
αὕτη συνάπτει τοῖς ἀγγέλοις. ταχέως δέ τις
εἰς τὴν ἐκείνων μεταστήσεται πολιτείαν, καὶ
βίον, καὶ δίαιταν, καὶ τιμὴν, καὶ εὐγένειαν, ἡ σο-
φίαν, καὶ σύνεσιν, πάντα τὸν βίον ἐν προσευ-
χαῖς ἡ τῇ τοῦ θεοῦ λατρείᾳ σπουδάζων ἐσχολα-
κέναι. τί δ' ἂν ὁσιώτερον γένοιτο τοῦ ὁμιλοῦν-
τος θεῷ; τί δὲ δικαιότερον; τί δὲ κοσμιώτερον;

τί δὲ σοφώτερον; εἰ γὰρ οἱ σοφοῖς ἀνδράσιν λαλ-
λοῦντες ὑπὸ τῆς συνεχοῦς ὁμιλίας εἰς ὁμοιότητα
τῆς ἐκείνων φρονήσεως καθίστανται ταχέως, τί προ-
σήκει λέγειν περὶ τῶν λαλούντων θεῷ καὶ προσευ-
χομένων, ὅσης μὲν σοφίας, ὅσης δὲ ἀρετῆς, καὶ
συνέσεως, καὶ καλοκαγαθίας, καὶ σωφροσύ-
νης, καὶ τρόπων ἐπιεικείας ἀναπίμπλησιν αὐ-
τοὺς ἡ προσευχὴ καὶ ἡ δέησις, ὥστε οὐκ ἄν τις ἁ-
μάρτοι, πάσης ἀρετῆς καὶ δικαιοσύνης ἀφορ-
μὴν εἶναι τὴν προσευχὴν ἀποφαινόμενος. οὐ
μηδὲν δύναιτο τῶν συντελούντων εἰς εὐσέβειαν
εἰσελθεῖν εἰς ψυχὴν, προσευχῆς καὶ δεήσεως
ἔρημον, ἀλλ' ὥσπερ ἀτείχιστος πόλις ῥαδίως
ἂν ὑπὸ τοῖς πολεμίοις γένοιτο κατὰ πολλὴν τοῦ
κωλύσοντος ἐρημίαν, οὕτω δὴ καὶ ψυχὴν μὴ
τετειχισμένην προσευχαῖς, ῥαδίως ὁ διάβο-
λος ὑφ' ἑαυτῷ ποιεῖται, καὶ πάσης ἁμαρτίας
εὐχερῶς ἀναπίμπλησιν. πρῶτον μὲν γὰρ ὅτ'
ἂν ἴδῃ ψυχὴν πεφραγμένην προσευχαῖς, ὁ-

τολμᾷ

τολμᾷ γενέσθαι πλησίον, δεδοικὼς τὴν ἰσχὺν καὶ τὴν δύναμιν ἣν αἱ προσευχαὶ παρέχουν, μᾶλλον τρίφουσαι τὴν ψυχὴν ἢ τὰ σώματα σῖτος. ἔπειτα οἱ προσευχόμενοι σπουδαίως οὐχ ὑπομένουσιν οὐδὲν πάθειν τῆς προσευχῆς ἀνάξιον, ἀλλ᾽ αἰσχυνόμενοι τὸν θεὸν ᾧ διελέχθησαν ἄρτι, πᾶσαν ἀπωθοῦνται ταχέως τὴν πονηρὰν μηχανήν, ἐνθυμούμενοι παρ᾽ ἑαυτοῖς, ὅσον ἐστὶ κακὸν ἄρτι τῷ θεῷ λαλήσαντα, καὶ δεηθέντα, περὶ σωφροσύνης καὶ ὁσιότητος, εὐθὺς ἐπὶ τὸν διάβολον μεταστῆναι, καὶ παραδέξασθαι τῇ ψυχῇ τὰς αἰσχρὰς ἡδονάς, καὶ δοῦναι τῷ διαβόλῳ πάροδον ἐπὶ τὴν διάνοιαν ἣν ἄρτι θεὸς ἐπεσκέψατο, καὶ συγχωρῆσαι δαίμοσιν ἐμβατεύειν εἰς ψυχὰς ὧν ἄρτι ἡ τοῦ πνεύματος χάρις πολλὴν ἐπεδείξατο φιλανθρωπίαν καὶ πρόνοιαν, καὶ ὅπερ ἄκουσον, ἀμήχανον ἀνθρώπῳ δυνηθῆναι θείαν ἐνεγκεῖν ὁμιλίαν ἄνευ τῆς ἐνεργείας τοῦ πνεύματος, ἀλλὰ δεῖ ταύ-

τῆς παρούσης καὶ συνεφαπτομένης τῶν ἁγίων ἀ-
γώνων, οὕτως εἰσελθεῖν καὶ κάμψαι γόνατα,
καὶ δεηθῆναι καὶ προσεύξασθαι, ἐπειδὴ γὰρ κρεῖτ-
τον ἢ κατὰ ἄνθρωπον λαλῆσαι θεῷ, δεῖ τὴν χά-
ριν τοῦ πνεύματος ἐλθοῦσαν εἰς ἡμᾶς, ἐπιῤῥῶ-
σαι καὶ θαῤῥῦναι καὶ διδάξαι τῆς τιμῆς τὸ μέγε-
θος, ὅτε ἂν οὖν μάθῃς ὅτι καὶ θεῷ λαλεῖς, καὶ
πνεύματος ἐνέργειαν ἐδέξω, διαλέγεσθαι μέλ-
λων, οὐδεμίαν δώσεις τῷ διαβόλῳ πάροδον
ἐπὶ τὴν ψυχὴν τὴν ἡγιασμένην ὑπὸ τοῦ πνεύμα-
τος ὥσπερ γὰρ οἱ βασιλεῖ διαλεχθέντες, καὶ λό-
γων ἢ μέρος τῆς τιμῆς ἀπολαύσαντες, οὐκ ἀξιοῦ-
σιν ἐλθεῖν εἰς ὁμιλίαν τῶν προσαιτῶν καὶ ἀ-
πεῤῥιμμένων, οὕτως ὁ θεῷ λαλήσας, καὶ προ-
σευξάμενος, οὐκ ἂν ἀξιώσειεν τοῦ πονηροῦ καὶ
ἀσεβοῦς ὁμιλίαν παραδέξασθαι, καὶ γὰρ ὡς ἀληθῶς
ὁ δουλεύων ἡδοναῖς, δαίμοσι ὁμιλεῖ, καὶ τὴν
ἐκείνων μανίαν ἐζήλωσεν, ὥσπερ ὁ σωφρονῶν
καὶ δικαιοσύνην ἀσκῶν ἀγγέλοις συνδιαι-
τᾶται,

τᾶται, καὶ τὴν ἐκείνων ζηλοῖ μεγαλοπρέπειαν.
δοκεῖ δέ μοί τις ἂν εἰπὼν, ὅτι νεῦρα τῆς ψυχῆς
εἰσὶν αἱ προσευχαί, τἀληθὲς εἰπεῖν. ὥσπερ γὰρ
οἶμαι τὸ σῶμα, διὰ τῶν νεύρων συνέχεται, καὶ τρέ-
χει, καὶ ἵσταται, καὶ ζῇ, καὶ πέπηγεν, ἂν δὲ ταῦτά
τις ἐκτέμῃ πᾶσαν τὴν ἁρμονίαν διαλύει τοῦ
σώματος, οὕτως αἱ ψυχαὶ διὰ τῶν ἁγίων προ-
σευχῶν ἁρμόζονται καὶ συνεστήκασιν, καὶ τὸν δρό-
μον τῆς εὐσεβείας τρέχουσιν εὐχερῶς. ἂν δὲ τῆς
προσευχῆς ἀποστερήσῃς σαυτὸν, ταυτὸν πεποίηκας
ὥσπερ ἂν εἰ τὸν ἰχθὺν ἐκ τοῦ ὕδατος ἐξήγαγες,
ὥσπερ γὰρ ἐκείνῳ ζωὴ τὸ ὕδωρ, οὕτως σοὶ προσευ-
χαί. διὰ ταύτης ἔξεστιν ὥσπερ δι' ὕδατος ἀναπ-
τῆναι καὶ τοὺς οὐρανοὺς ὑπερβῆναι καὶ τοῦ θεοῦ
γενέσθαι πλησίον. ἱκανὰ μὲν οὖν καὶ τὰ ῥηθέν-
τα δεῖξαι τὴν ἰσχὺν τῆς ἁγίας προσευχῆς, βέλ-
τιον δὲ ἴσως, ἐπὶ τὰς θείας ἐλθόντα γραφὰς.
ἐκ τῶν ἀποφάσεων τοῦ χριστοῦ μαθεῖν τὸν πλοῦ-
τον, ὃν αἱ προσευχαὶ θησαυρίζουσιν τοῖς βου-

 λομέ-

λομένοις ἐν αὐταῖς πάντα τὸν βίον σχολάζειν. ἔλεγεν δέ φησιν καὶ παραβολὴν αὐτοῖς, πρὸς τὸ δεῖν πάντοτε προσεύχεσθαι. κριτής τις ἦν ἔν τινι πόλει, τὸν θεὸν μὴ φοβούμενος, καὶ ἄνθρωπον μὴ ἐντρεπόμενος. χήρα, δὲ ἦν ἐν τῇ πόλει ἐκείνῃ, καὶ ἤρχετο πρὸς αὐτὸν λέγουσα, ἐκδίκησόν με ἀπὸ τοῦ ἀντιδίκου μου, καὶ οὐκ ἤθελεν ἐπὶ χρόνον, μετὰ δὲ ταῦτα εἶπεν ἐν ἑαυτῷ, εἰ καὶ τὸν θεὸν οὐ φοβοῦμαι καὶ ἄνθρωπον οὐκ ἐντρέπομαι, διά γε τὸ παρέχειν μοι κόπον τὴν χήραν ταύτην, ἐκδικήσω αὐτήν, ἵνα, μὴ εἰς τέλος ἐρχομένη ὑποπιάζῃ με, εἶπεν δὲ ὁ κύριος, ἀκούσατε τί ὁ κριτὴς τῆς ἀδικίας λέγει. ὁ δὲ θεὸς οὐ μὴ ποιήσῃ τὴν ἐκδίκησιν τῶν ἐκλεκτῶν αὐτοῦ, τῶν βοώντων πρὸς αὐτὸν ἡμέρας καὶ νυκτὸς, καὶ μακροθυμεῖ ἐπ' αὐτοῖς, λέγω ὑμῖν ὅτι ποιήσει τὴν ἐκδίκησιν αὐτῶν ἐν τάχει. μάθωμεν ἀδελφοὶ τὴν κεκρυμμένην σοφίαν ἐν τοῖς λόγοις τοῦ πνεύ-

ματος

ματος διερευνώμενοι κατὰ δύναμιν ἡμετέ-
ραν, οὐχ ὅση ἐστὶν, ἀλλὰ ὅσον ἡμῖν ἐφικτόν.
οἱ μὲν οὖν ἐν τῇ θαλάττῃ ποιούμενοι τὸν βίον,
ἐπ' αὐτὸν καθιέντες τὸν βυθόν, τοὺς πολυτιμή-
τους λίθους τοῖς ἐν τῇ γῇ κομίζουσιν, ἡμεῖς δὲ
τὸ πέλαγος τῶν θείων γραφῶν ἱστορήσοντες,
εἰς αὐτὸν τὸν βυθὸν τῆς πνευματικῆς σοφίας,
ὅσον οἷόν τε καταδράμωμεν, ἵνα κομίσωμεν
ὑμῖν θησαυρὸν ἀγαθὸν κοσμοῦντα τὰς ψυ-
χὰς βέλτιον, ἢ τὰς κεφαλὰς τῶν βασιλέων
οἱ λιθοκόλλητοι στέφανοι. τὸ μὲν γὰρ ἐκεί-
νων κάλλος, τῷ βίῳ τούτῳ συναπαρτίζεται,
ὁ δὲ τοῖς λόγοις τοῦ πνεύματος στεφανῶν
τὴν ψυχὴν, καὶ νῦν μετὰ ἀσφαλείας πάσης
διαπερᾷ τὸν χρόνον, καὶ μετὰ τὴν τοῦ βίου
τελευτὴν θαρρῶν προσέρχεται τῷ βήματι τοῦ
Χριστοῦ γέμων ἀρετῆς, καὶ καθαρεύων πάσης κα-
κίας, τίνα οὖν ἡμῖν θησαυρὸν εἰς τοῦ βυθοῦ
τῶν γραφῶν κομίζομεν, οὐκ αὐτοῦ τοῦ βά-
θους

θους ἁπτόμενοι τῆς σοφίας, ἀλλὰ τοσοῦτον κα-
τιόντες ὅσον ἐγχωρεῖ ἐπὶ τὴν προσευχὴν ἄ-
γων τοὺς ἀνθρώπους ὁ χριστός, καὶ τὴν ἀπὸ ταύ-
της ὠφέλειαν παραστῆσαι βουλόμενος ταῖς ἡμε-
τέραις ψυχαῖς, κριτὴν εἰσάγει πονηρόν τινα καὶ
σκαιόν. πᾶσαν αἰδῶ τῶν ὀφθαλμῶν ἀπορ-
ρίψαντα, τὸν τοῦ θεοῦ φόβον ἐκ τῆς ψυχῆς ἐξελά-
σαντα, καίτοι γε ἤρκει δικαίου καὶ ἐλεήμονος
ὑποθέσθαι πρόσωπον, καὶ περιεξετάσαντα, τὴν
ἐκείνου δικαιοσύνην, τὴν φιλανθρωπίαν τοῦ θεοῦ
δεῖξαι τὴν ἰσχὺν τῆς δεήσεως. εἰ δὲ ἄνθρωπος χρη-
στὸς καὶ πρᾶος ἡμέρως δέχεται τοὺς ἱκετηρίαν
προσάγοντας, πόσῳ μᾶλλον θεός, οὗ τὸ μέγε-
θος φιλανθρωπίας, οὐ μόνον τὴν ἡμετέραν ὑ-
περβαίνει διάνοιαν, ἀλλὰ καὶ τοὺς ἀγγέλους αὐ-
τοῦ, ἤρκει μὲν οὖν ὥσπερ ἔφην δικαίου πρόσωπον
ὑποθέσθαι κριτοῦ, νῦν δὲ ὠμὸν καὶ ἀσεβῆ καὶ μι-
σάνθρωπον εἰσάγει κριτήν, ἐπὶ μὲν τῶν ἄλλων
ἀνήμερον, ἐπὶ δὲ τῶν δεομένων χρηστὸν καὶ πρᾶον,

ἵνα

ἵνα μάθῃς ὅτι πᾶσα δέησις, καὶ φύσιν πονηρὰν
εἰς οἶκτον καὶ ἔλεον ἐπισπᾶται ῥᾳδίως τίνος
οὖν ἕνεκα τοῦτο πεποίηκεν ὁ χριστός; ἵνα μηδεὶς
ἀγνοῇ τὴν ἁπάντων τῶν προσευχῆς τὴν ἰσχύν,
διὰ τοῦτο τῷ πικροτάτῳ πάντων παραστήσας
τὴν χήραν, καὶ δείξας αὐτὸν παρὰ φύσιν φιλάν-
θρωπον, ἀπὸ τοῦ πονηροῦ πρὸς τὸν ἑαυτοῦ κρατέρα
μετέστησεν, τὸν ἀγαθὸν τὸν πρᾶον τὸν ἥμερον
τὸν φιλάνθρωπον, ὑπερβαίνοντα, ἀνομίας συγ-
χωροῦντα ἁμαρτίας πολλὰς βλασφημού-
μενον καθ' ἑκάστην ἡμέραν καὶ φέροντα, ἀνεχό-
μενον ὁρᾶν τιμὴν εἰς δαίμονας, ὕβριν εἰς αὐ-
τὸν, εἰς τὸν υἱὸν βλασφημίας, ῥητὰ καὶ ἄρρητα
μυρία, δεινά. εἶτα βλασφημούμενος μὲν, οὕ-
τω πρᾴως ἀνέχεται, ἐὰν δὲ ἴδῃ μετὰ τοῦ προσή-
κοντος φόβου προσπίπτοντας ἡμᾶς, οὐκ ἐλεή-
σει ταχέως; ἀκούσατε φησὶν τί ὁ κριτὴς τῆς ἀδι-
κίας λέγει. εἰ καὶ τὸν θεὸν οὐ φοβοῦμαι καὶ ἀν-
θρωπον οὐκ ἐντρέπομαι, διά γε τὸ παρέχειν μοι
κόπους

κόπους ἐδίκησα αὐτῶν. τί λέγεις; ὅπερ οὐκ ἴσχυσεν φόβος, τοῦτο δέησις ἴσχυσεν, καὶ ἀπειλὴ μὲν καὶ τιμωρίας ἐλπὶς, οὐ προσήγαγεν τῷ δικαίῳ τὸν ἄνθρωπον, μεθ᾽ ἱκετηρίας δὲ φανεῖσα χήρα, τὸν ἄγριον ἡμέρωσεν. τί οὖν εἰκάζειν προσήκει περὶ τοῦ φιλανθρώπου θεοῦ, εἰ τὸν ὠμὸν οὕτω πρᾶον πεποίηκεν ἡ χήρα, προσπίπτουσα; πόσην χρηστότητα, πόσην φιλανθρωπίαν ἐφ᾽ ὑμῶν ὁ θεὸς ἐπιδείξηται, ὁ μόνον ἐλεεῖν ἐθέλων ἀεί, κολάζειν δὲ οὐδεπώποτε, ὁ καὶ τὰς τιμωρίας διὰ πολλὴν φιλανθρωπίαν ἀπειλήσας ἡμῖν, καὶ μεγάλας ἑτοιμάσας τιμάς, ἵνα καὶ φόβος καὶ τιμῆς ἐλπὶς, ἡ μὲν ἐπεγείρῃ πρὸς ἀρετήν, ἡ δὲ κωλύσῃ πονηρευμάτων. οὐ δύναμαι δὲ κριτοῦ τῆς ἀδικίας ὑποστῆσαι τὴν διάνοιαν, θεωρῶν ἐν τῇ ἐκείνου παρὰ φύσιν πραότητι τὴν ἀμύθητον τοῦ θεοῦ φιλανθρωπίαν. εἰ γὰρ ὁ μηδέποτε μηδὲν χρηστὸν ἐπιδείξασθαι βουληθεὶς ἄφνω μεταθέ-

μενος

μενος τοὺς δεομένους ἐλέησεν, πόσῳ ἡμῖν
τῆς οὐρανοῦ κηδεμονίαν αἱ προσευχαὶ κομίσου-
σιν; γνοίη δ' ἄν τις τὴν ἰσχὺν καὶ τὴν δύναμιν
τῶν ἁγίων προσευχῶν; σκοπῶν καὶ θεωρῶν,
ὅσον ἀγαθῶν καθ' ἑκάστην ἡμέραν καὶ ὥραν
ἀπολαύουσιν οἱ πάντοτε τῷ θεῷ προσπίπ-
τοντες, τίς γὰρ οὐκ οἶδεν ὅτι καὶ τοῦ ἡλίου τὸ
φῶς, καὶ τῶν ἀστέρων, καὶ τῆς σελήνης, καὶ ἀέρων
εὐκρασίαν, καὶ τροφὰς παντοίας, καὶ πλοῦτον,
καὶ βίον, καὶ μυρία ἀγαθὰ πᾶσιν ἀνθρώποις
ὁμοίως ὁ θεὸς χαρίζεται, καὶ δικαίοις καὶ ἀσεβέ-
σιν, διὰ τὴν πολλὴν αὐτοῦ φιλανθρωπίαν, ἣ κέ-
χρηται πρὸς ἡμᾶς, εἰ δὲ τοὺς μὴ δεομένους, μηδὲ
αἰτοῦντας, οὕτως ἐλεεῖ καθ' ἡμέραν καὶ ἀνα-
παύει, πόσον εἰκὸς ἀγαθῶν ἀπολαύεσθαι τοὺς
ἐν εὐχαῖς καὶ δεήσεσιν πάντα τὸν βίον ἐσχολα-
κότας; φέρε δὴ ὅσοις τῶν δικαίων ὑπῆρξεν διὰ
προσευχῶν σῶσαι καὶ ἔθνη καὶ πόλεις καὶ τὴν οἰκου-
μένην ἅπασαν, εἴπωμεν πρὸς ὑμᾶς. τῶν δὲ μνη-

μου προσευχῆς, Παῦλος πρῶτος ἄξιος μνή-
μης, Παῦλος ὁ τῆς τοῦ θεοῦ λατρείας ἀκόρεστος, ὁ
κοινὸς πατὴρ καὶ πρόγονος τῶν δούλων τοῦ χριστοῦ
ἐκεῖνος τοίνυν ὁ φύλαξ τῆς οἰκουμένης, διὰ προσ-
ευχῆς καὶ τῆς συνεχοῦς δεήσεως, πάντα τὰ ἔθνη
διέσωζεν, λέγω ἀεὶ πρὸς ὑμᾶς, τούτου χάριν
κάμπτω τὰ γόνατά μου πρὸς τὸν πατέρα τοῦ κυ-
ρίου ἡμῶν Ἰησοῦ χριστοῦ, ἐξ οὗ πᾶσα πατριὰ ἐν
οὐρανοῖς καὶ ἐπὶ γῆς ὀνομάζεται, ἵνα δώῃ ὑμῖν κατὰ
τὸν πλοῦτον τῆς χάριτος αὐτοῦ, δυνάμει κραταιω-
θῆναι διὰ τοῦ πνεύματος αὐτοῦ, εἰς τὸν ἔσω
ἄνθρωπον κατοικῆσαι τὸν χριστὸν, διὰ τῆς πί-
στεως ἐν ταῖς καρδίαις ὑμῶν, ὁρᾷς ὅσον ἰσχύει
προσευχὴ καὶ δέησις; ναοὺς χριστοῦ τοὺς ἀνθρώπους
ἐργάζεται, καὶ ὥσπερ χρυσὸς καὶ λίθοι πολυτίμη-
τοι καὶ μάρμαρα ποιοῦσι τοὺς οἴκους τῶν βασι-
λέων, οὕτω προσευχὴ ναοὺς τοῦ χριστοῦ. κατοικῆ-
σαι φησὶν τὸν χριστὸν ἐν ταῖς καρδίαις ὑμῶν.
τί μεῖζον ἂν γένοιτο προσευχῆς ἐγκώμιον, ἢ

ὅτι

ὅτι ναοὺς ἀπεργάζεται θεοῦ, ὃν οὐ χωροῦσιν οὐρανοί, οὗτος εἰς ψυχὴν εἰσέρχεται ζῶσαν ἐν προσευχαῖς. ὁ οὐρανός μοι θρόνος φησίν, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου, ποῖον οἶκον οἰκοδομήσετέ μοι λέγει κύριος, ἢ τίς τόπος τῆς καταπαύσεώς μου; ποῖον οἶκον παῦλος οἰκοδομεῖ διὰ τῶν ἁγίων εὐχῶν; κάμπτω φησὶν τὰ γόνατά μου πρὸς τὸν πατέρα τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ, ἵνα κατοικήσῃ ὁ χριστὸς διὰ τῆς πίστεως ἐν ταῖς καρδίαις ὑμῶν. καὶ μὴν κἀκεῖθεν ἴδοι τις ἂν τὴν δύναμιν τῶν ἁγίων εὐχῶν, ὅτι παῦλος ὁ διὰ πάσης τῆς οἰκουμένης, ὥσπερ ὑπόπτερος τρέχων, ὁ δεσμωτήριον οἰκῶν καὶ μάστιγας ὑπομένων, καὶ φορῶν ἅλυσιν, ὁ ζῶν ἐν αἵμασι καὶ κινδύνοις καὶ δαίμονας ἐλαύνων, καὶ νεκροὺς ἐγείρων, ὁ παύων ἀρρωστήματα, οὐδενὶ τούτων ἐθάρρησεν εἰς σωτηρίαν τῶν ἀνθρώπων, ἀλλὰ ταῖς προσευχαῖς ἐπείχισεν τὴν γῆν καὶ μετὰ τὰ σημεῖα καὶ τὴν τῶν νεκρῶν ἀνάστασιν, ἐπὶ τὰς προσευχὰς

ἔτρεχεν, ὥσπερ τις ἀθλητὴς ἐπὶ παλαίστραν
ἀπὸ στεφάνου, καὶ γὰρ τῆς ἀναστάσεως τῶν νεκρῶν
καὶ τῶν ἄλλων ἁπάντων ἡ προσευχὴ χορηγός.
ἣν γὰρ ἐπὶ τῶν δένδρων ἰσχὺν ἔχει τὰ ὕδατα,
ταύτην ἐπὶ τοῦ βίου τῶν ἁγίων αἱ προσευχαί.
ἐν τῇ νυκτὶ ταύτῃ ἄρδων τὴν ψυχὴν ὁ Παῦ-
λος, πάντα ὑπέμενεν εὐχερῶς τὰ δεινά, πα-
ρέχων τὰ νῶτα ταῖς πληγαῖς ὥσπερ ἀνδριάς.
οὕτως ἐν Μακεδονίᾳ τὸ δεσμωτήριον ἔσει-
σεν, οὕτω τὰ δεσμὰ διέρρηξεν ὥσπερ λέων
ταῖς προσευχαῖς, οὕτω τὸν τοῦ δεσμωτηρίου
φύλακα, τῆς πλάνης ἐξήρπασεν, οὕτω τὴν
τυραννίδα τῶν δαιμόνων κατέλυσεν καὶ μὴν
κακεῖνά γε ἴσμεν, ἃ γράφει πρὸς πάντας ἀν-
θρώπους, τῇ προσευχῇ προσκαρτερεῖτε γρηγο-
ροῦντες ἐν αὐτῇ ἐν εὐχαριστίᾳ, προσευχόμε-
νοι ἅμα καὶ περὶ ἐμοῦ, ἵνα μοι δοθῇ λόγος ἐν
ἀνοίξει τοῦ στόματός μου ἐν παρρησίᾳ λαλῆσαι
τὸ μυστήριον τοῦ εὐαγγελίου. τί λέγεις; τοσαύ-
την ἡμῖν παρρησίαν αἱ προσευχαὶ διδόασιν

ὥστε

ὡς ὑπὲρ παύλου τολμᾷν τὸν θεὸν ἱκετεύειν; τίς τολμᾷ στρατιώτης ὑπὲρ τοῦ μεγάλου στρατηγοῦ τὸν βασιλέα παρακαλεῖν; καίτοιγε οὐδεὶς οὕτως στρατηγὸς τῷ βασιλεῖ φίλος, ὡς παῦλος τῷ θεῷ. ἀλλ' ὅμως εἰς τοσαύτην ἄγουσιν ἡμᾶς αἱ προσευχαὶ τιμὴν, ὡς ὑπὲρ παύλου τολμᾷν τὸν θεὸν ἱκετεύειν. οὕτω καὶ πέτρος ὁ μέγας ὁ τοῦ οὐρανοῦ λαμπρότερος τὸ δεσμωτήριον διέφυγεν, μάλιστα μὲν διὰ τὴν οἰκείαν ἀρετὴν καὶ τὴν κοινὴν τῶν ἀνθρώπων σωτηρίαν. ἔπειτα μέντοι καὶ ἡ προσευχὴ τῆς ἐκκλησίας κεκλεισμένας τοῦ δεσμωτηρίου τὰς θύρας ταχέως ἀνέῳξεν. οὐ γὰρ εἰκῆ προσέγραψεν ὁ λουκᾶς ὅτι προσευχὴ δὲ ἦν ἐκτενὴς ὅλης τῆς ἐκκλησίας ὑπὲρ τοῦ πέτρου, ἀλλ' ἵνα μάθωμεν ἡμεῖς. ὅσην ἰσχὺν ἐν οὐρανοῖς αἱ προσευχαὶ κέκτηνται, ὡς παῦλον καὶ πέτρον κινδύνων ἀπαλλάττειν, τοὺς στύλους τῆς ἐκκλησίας, τοὺς κορυφαίους τῶν ἀποστόλων, τοὺς περιβοήτους ἐν οὐρανῷ, τὰ τεῖ-

χος τῆς οἰκουμένης, τὸ κοινὸν φυλακτήριον πάσης γῆς, καὶ θαλάττης. εἰπέ μοι, πῶς ὁ Μωσῆς τὸν Ἰσραὴλ ἐν πολέμοις διέσωσεν; οὐ τὰ μὲν ὅπλα, καὶ τὴν στρατιὰν τῷ μαθητῇ παρέδωκεν, αὐτὸς δὲ τὰς εὐχὰς ἀντέστησεν τῷ πλήθει τῶν ἀντιπάλων, διδάσκων ἡμᾶς, ὅτι καὶ ὅπλων, καὶ ἵππων, καὶ χρημάτων, καὶ στρατοπέδων πολλῶν μείζονα δύναμιν ἔχουσιν αἱ προσευχαὶ τῶν δικαίων. διὰ τοῦτο καὶ πᾶς ὁ στρατοὺς, αἱ πολλαὶ μυριάδες ἐν τῇ προσευχῇ τοῦ προφήτου τὴν ἐλπίδα τῆς σωτηρίας εἶχον. προσευχομένου μὲν γὰρ τοῦ Μωσέως ἐκράτουν Ἰουδαῖοι, πεπαυμένου δὲ τῆς προσευχῆς, ἔλαττον εἶχον τῶν ἀντιπάλων. οὕτω δὴ καὶ ἡμεῖς προσευχόμενοι μὲν, ῥαδίως τοῦ διαβόλου κρατήσομεν, ῥαθυμοῦντες δὲ, καθ᾽ ἑαυτῶν ἀσκοῦμεν τὸν πονηρόν. καὶ μὲν καὶ τὸν λαὸν ἀσεβήσαντα, διὰ προσευχῆς μόνης διέσωσεν Μωσῆς, καὶ τῶν θείων ὄψεων, καὶ μυρίων ἀγαθῶν διὰ ταύτης ἔτυχεν μόνης. αὕτη γὰρ αὐτῷ καὶ

τὸν βίον παρακλήσιον ἐποίησεν τοῖς οἰκοῦσι
τὸν οὐρανόν. προσευχὴ πυρὸς δύναμιν ἤλεγ-
ξεν, καὶ λέοντας ἡμέρωσεν, τὸ μὲν ἐπὶ Δανιὴλ,
τὸ δὲ ἐπὶ τῶν τριῶν ἐργασαμένη παίδων δι'
ὧν οἶμαι καὶ δῆλον πεποίηκεν ἅπασιν, ὅτι
πάντας ὅσους ἂν λάβῃ κινδυνεύοντας, ῥᾳ-
δίως ἐξαρπάζει τῶν ἐπηρτημένων δεινῶν. προ-
σευχὴ σωτηρίας ἀφορμὴ, ἀθανασίας πρόξε-
νος ψυχῆς, τῆς ἐκκλησίας τεῖχος ἀῤῥαγὲς, φυ-
λακτήριον ἄσειστον, φοβερὸν μὲν τοῖς δαίμο-
σιν, σωτήριον δὲ τοῖς εὐσεβέσιν ἡμῖν. αὕτη
τὸν ἅγιον προφήτην τὸν Σαμουὴλ ἐγέννησεν.
ἐπειδὴ γὰρ φύσις ἠναντιοῦτο τῇ μητρὶ πρὸς
γονὰς, ἡ προσευχὴ φανεῖσα, ταχέως ἐπανώρ-
θωσεν τὸ τῆς φύσεως ἐλάττωμα, τοιοῦτος τῆς
προσευχῆς ὁ καρπὸς, τοιοῦτον ἐφύτευσεν ἡ προ
σευχὴ προφήτην, δι' ὃ πρεσβεύοντος τῶν οὐρανοῖς ὁ
Σαμουὴλ ἐγένετο, κρεῖττον ἢ κατὰ ἄνθρωπον ζη-
λωτὴν τῶν ἀγγέλων, ἔδει γὰρ οἶμαι τοιοῦτον
φανῆναι τῆς προσευχῆς τὸν ἄσταχυν, νικῶντα,

τοὺς ἄλλους τῇ καλοκαγαθίᾳ, καὶ ταῖς ἀρεταῖς
τῶν τρόπων, καὶ τοσοῦτον τοὺς πρὸ αὐτοῦ νι-
κᾷν ἁγίους, ὅσον ἐν τοῖς λιμοῖς ὑπερέχουσιν οἱ
τῶν ἀσταχύων εὖ πράττοντες. μετὰ ταύτης ὁ
Δαβὶδ τοσούτους καὶ τοιούτους πολέμους ἀ-
πώσατο, οὐκ ὅπλα κινῶν οὐδὲ δόρυ σείων, οὐ-
δὲ ξίφος ἕλκων, ἀλλ᾽ εὐχαῖς τειχιζόμενος,
μετὰ ταύτης Ἐζεκίας τὸ πλῆθος τῶν περσῶν
εἰς φυγὴν ὀξέως ἔτρεψεν, καὶ οἱ μὲν μηχανή-
ματα, τοῖς τείχει προσῆγον, ὁ δὲ ταῖς προσευ-
χαῖς τὸ τεῖχος ἐτείχισεν, καὶ κατελύθη πόλε-
μος ἄνευ ὅπλων ἀπὸ προσευχῆς, σάλπιγγος
μὲν οὐκ ἠχούσης, στρατιᾶς δὲ ἡσυχαζούσης, ὅ-
πλων δὲ οὐ κινουμένων, γῆς δὲ οὐ φοινισσομέ-
νης, προσευχῆς δὲ ἀρκούσης εἰς φόβον τῶν ἀν-
τιπάλων προσευχὴ καὶ νινευίτας διέσωσεν,
καὶ τὴν δ᾽ ἐξ οὐρανοῦ περομένην ὀργὴν ἀπεκρού-
σατο ταχέως, καὶ βίον διεφθαρμένον ἐπα-
νώρθωσεν ὀξέως. τοσαύτην γὰρ ἰσχὺν καὶ δύ-
ναμιν ἔχει, ὥστε ἔζησαν μὲν οἱ νινευῖται πάν-

τα, τὸν

τα, τὸν βίον αἰσχρῶς καὶ πονηρῶς, εἰσελθοῦσα δὲ εἰς τὴν πόλιν ἡ προσευχὴ, ταχέως πάντα, μετέβαλεν, καὶ σωφροσύνην, καὶ δικαιοσύνην, καὶ φιλίαν, καὶ ὁμόνοιαν, καὶ πτωχῶν πρόνοιαν, καὶ πάντα, τὰ ἀγαθὰ, συνεισήγαγεν αὐτῇ, ὥσπερ γὰρ τινος βασιλίδος εἰσιούσης εἰς πόλιν, πάντα, τὸν πλοῦτον συνακολουθεῖν ἀνάγκη, οὕτω δὴ καὶ προσευχῆς, εἰς ψυχὴν εἰσιούσης, πᾶσα ἀρετὴ συνεισέρχεται· ὅπερ γάρ ἐστιν ἐν οἰκίᾳ θεμέλιος, τοῦτο ἐν ψυχῇ προσευχὴ, καὶ δεῖ ταύτην πρώτην ὥσπερ κρηπῖδα, καὶ ῥίζαν ἐν τῇ ψυχῇ πήξαντας πάντας ἐποικοδομεῖν σπουδαίως, καὶ σωφροσύνην καὶ πραότητα, καὶ Δικαιοσύνην καὶ πρόνοιαν πτωχῶν καὶ πάντας τοὺς νόμους τοῦ χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ, σὺν τῷ ἁγίῳ πνεύματι δόξα, καὶ κράτους, εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Αμήν.

ΤΕΛΟΣ.

40 13/ b, 16

+ 2001640

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-160248-p0057-1

xii Praxedis

[illegible]

A x k Apollinaris epi et mris. Liboru cf.

b viiii Cristine v.

c viii Iacobi apli. [illegible]

d vii k Anne matris marie virginis [illegible]

e vi

f v k Pantaleonis mris.

g iiii Felicis pp et mr. Simplicii faustini [illegible]

A iii Abdon et Sennes mrm.

b ii

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-160248-p0058-6

# D. IOANNIS CHRYSOSTOMI DE ORANDO DEVM, LIBRI DVO.



COLONIAE AGRIPPINAE,
Apud Ioannem Gymnicum, sub Monocerote. M. D. LXXVII.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-160248-p0059-6